Ἐκ δὴ τούτου φανερὸν ὅτι ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνά-
λογον ἐλάχιστοι ὦσιν τῶν τὸν αὐτὸν λόγον ἐχόν-
των αὐτοῖς, οἱ ἄκροι αὐτῶν τετράγωνοί εἰσιν· ἐὰν δὲ τέσσαρες,
κύβοι :~ Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνά-

Γ Λογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς,
οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.
ἔστωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχι-
στοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α Β Γ Δ.
λέγω ὅτι οἱ ἄκροι αὐτῶν οἱ Α Δ πρῶτοι πρὸς ἀλλή-
λους εἰσίν. εἰλήφθωσαν γὰρ δύο μὲν ἀριθμοὶ
ἐλάχιστοι ἐν τῷ τῶν Α Β Γ Δ λόγῳ οἱ Ε Ζ, τρεῖς δὲ
οἱ Η Θ Κ. καὶ ἀεὶ ἑξῆς ἑνὶ πλείους ἕως οὗ τὸ λαμβα-
νόμενον πλῆθος ἴσον γένηται τῷ πλήθει τῶν
Α Β Γ Δ. εἰλήφθωσαν καὶ ἔστωσαν οἱ Λ Μ Ν Ξ. οἱ ἄρα
ἄκροι αὐτῶν οἱ Λ Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν·
ἐπεὶ γὰρ οἱ Ε Ζ πρῶτοι, ἑκάτερος δὲ αὐτῶν ἑαυ-
τὸν πολλαπλασιάσας ἑκάτερον τῶν Η Κ πεποί-
ηκεν. ἑκάτερον δὲ τῶν Η Κ πολλαπλασιάσας ἑκά-
τερον τῶν Λ Ξ πεποίηκεν. οἱ Η Κ ἄρα πρῶ-
τοι καὶ οἱ Λ Ξ. καὶ ἐπεὶ οἱ Α Β Γ
Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν
λόγον ἐχόντων αὐτοῖς. εἰσὶ
δὲ καὶ οἱ Λ Μ Ν Ξ ἐλάχιστοι
ἐν τῷ αὐτῷ λόγῳ ὄντες
τοῖς Α Β Γ Δ. καί ἐστιν ἴσον τὸ
πλῆθος τῶν Α Β Γ Δ τῷ



ἕκαστος ἄρα τῶν Α Β Γ Δ ἑκάστῳ
πλήθει τῶν Λ Μ Ν Ξ· ἴσος ἄρα ἐστὶν ὁ μὲν Α τῷ Λ
τῶν Λ Μ Ν Ξ ἴσος ἐστίν· οἱ Λ Ξ πρῶτοι πρὸς ἀλλήλους
ὁ δὲ Δ τῷ Ξ· [illegible] ὁ δὲ Ξ τῷ Δ· καὶ οἱ Α Δ
[illegible] ἴσος δὲ ὁ μὲν Λ τῷ Α [illegible] ὅπερ ἔδει δεῖξαι :~
ἄρα πρῶτοι πρὸς ἀλλήλους [illegible] ἐν ἐλαχίστοις ἀριθμοῖς

Δ Λόγων δοθέντων ὁποσωνοῦν [illegible] ἐλαχίστους ἐν τοῖς δοθεῖσιν
ἀριθμοὺς εὑρεῖν ἑξῆς [illegible] ἐν ἐλαχίστοις ἀ-
λόγοις. ἔστωσαν οἱ δοθέντες λόγοι ἐν ἐλαχίστοις ἀ-
ριθμοῖς ὅ τε τοῦ Α πρὸς τὸν Β καὶ ὁ τοῦ Γ πρὸς τὸν Δ,
καὶ ἔτι ὁ τοῦ Ε πρὸς τὸν Ζ. δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνά-
λογον ἐλαχίστους ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ καὶ ἐν
τῷ τοῦ Γ πρὸς τὸν Δ, καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ.
εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν Β Γ ἐλάχιστος μετρούμενος
ἀριθμὸς ὁ Η. καὶ ὁσάκις μὲν ὁ Β τὸν Η μετρεῖ, το-
σαυτάκις ὁ Α τὸν Θ μετρείτω. ὁσάκις δὲ ὁ Γ τὸν
Η μετρεῖ, τοσαυτάκις καὶ ὁ Δ τὸν Κ μετρείτω. ὁ δὲ Ε
τὸν Κ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον.
καὶ ὁσάκις ὁ Ε τὸν Κ μετρεῖ, τοσαυτάκις καὶ ὁ Ζ τὸν
Λ μετρείτω. καὶ ἐπεὶ ἰσάκις ὁ Α τὸν Θ μετρεῖ καὶ ὁ Β
τὸν Η. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ
πρὸς τὸν Η. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ,
οὕτως ὁ Η πρὸς τὸν Κ. καὶ ἔτι ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕ-
τως ὁ Κ πρὸς τὸν Λ. οἱ Η Θ Κ Λ ἄρα ἑξῆς ἀνάλογόν εἰσιν
ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ ἐν τῷ τοῦ Γ πρὸς
τὸν Δ καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ. λέγω δὴ
ὅτι καὶ ἐλάχιστοι. εἰ γὰρ μή εἰσιν οἱ Η Θ Κ Λ ἑξῆς

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo